αὐτῶν, 18 οἱ τὸ ἀργύριον τεκταίνοντες καὶ μεριμνῶντες, καὶ οὐκ 18
ἔστιν ἐξεύρεσις τῶν ἔργων αὐτῶν; 19 ἠφανίσθησαν καὶ εἰς ᾅδου 19
κατέβησαν, καὶ ἄλλοι ἀντανέστησαν ἀντ᾽ αὐτῶν. 20 νεώτεροι εἶδον 20
φῶς καὶ κατῴκησαν ἐπὶ τῆς γῆς, ὁδὸν δὲ ἐπιστήμης οὐκ ἔγνωσαν
21 οὐδὲ συνῆκαν τρίβους αὐτῆς οὐδὲ ἀντελάβοντο αὐτῆς· οἱ υἱοὶ 21
αὐτῶν ἀπὸ τῆς ὁδοῦ αὐτῶν πόρρω ἐγενήθησαν. 22 οὐδὲ ἠκούσθη 22
ἐν Χανααν οὐδὲ ὤφθη ἐν Θαιμαν, 23 οὔτε υἱοὶ Αγαρ οἱ ἐκζητοῦντες 23
τὴν σύνεσιν ἐπὶ τῆς γῆς, οἱ ἔμποροι τῆς Μερραν καὶ Θαιμαν οἱ
μυθολόγοι καὶ οἱ ἐκζητηταὶ τῆς συνέσεως ὁδὸν τῆς σοφίας οὐκ
ἔγνωσαν οὐδὲ ἐμνήσθησαν τὰς τρίβους αὐτῆς. — 24 ὦ Ισραηλ, ὡς 24
μέγας ὁ οἶκος τοῦ θεοῦ καὶ ἐπιμήκης ὁ τόπος τῆς κτήσεως αὐτοῦ·
25 μέγας καὶ οὐκ ἔχει τελευτήν, ὑψηλὸς καὶ ἀμέτρητος. 26 ἐκεῖ ἐγεν- 25 26
νήθησαν οἱ γίγαντες οἱ ὀνομαστοὶ οἱ ἀπ᾽ ἀρχῆς, γενόμενοι εὐμεγέ-
θεις, ἐπιστάμενοι πόλεμον. 27 οὐ τούτους ἐξελέξατο ὁ θεὸς οὐδὲ 27
ὁδὸν ἐπιστήμης ἔδωκεν αὐτοῖς· 28 καὶ ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν 28
φρόνησιν, ἀπώλοντο διὰ τὴν ἀβουλίαν αὐτῶν. — 29 τίς ἀνέβη εἰς 29
τὸν οὐρανὸν καὶ ἔλαβεν αὐτὴν καὶ κατεβίβασεν αὐτὴν ἐκ τῶν νε-
φελῶν; 30 τίς διέβη πέραν τῆς θαλάσσης καὶ εὗρεν αὐτὴν καὶ οἴσει 30
αὐτὴν χρυσίου ἐκλεκτοῦ; 31 οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς 31
οὐδὲ ὁ ἐνθυμούμενος τὴν τρίβον αὐτῆς· 32 ἀλλὰ ὁ εἰδὼς τὰ πάντα 32
γινώσκει αὐτήν, ἐξεῦρεν αὐτὴν τῇ συνέσει αὐτοῦ· ὁ κατασκευάσας
τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον, ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπό-
δων· 33 ὁ ἀποστέλλων τὸ φῶς, καὶ πορεύεται, ἐκάλεσεν αὐτό, καὶ 33
ὑπήκουσεν αὐτῷ τρόμῳ· 34 οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλα- 34
καῖς αὐτῶν καὶ εὐφράνθησαν, 35 ἐκάλεσεν αὐτοὺς καὶ εἶπον Πάρ- 35
εσμεν, ἔλαμψαν μετ᾽ εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. 36 οὗτος ὁ 36
θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. 37 ἐξεῦρεν πᾶσαν 37
ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ιακωβ τῷ παιδὶ αὐτοῦ καὶ Ισ-
ραηλ τῷ ἠγαπημένῳ ὑπ᾽ αὐτοῦ· 38 μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη 38
καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη. 1 αὕτη ἡ βίβλος τῶν προσ- 4
ταγμάτων τοῦ θεοῦ καὶ ὁ νόμος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα· πάν-
τες οἱ κρατοῦντες αὐτῆς εἰς ζωήν, οἱ δὲ καταλείποντες αὐτὴν ἀπο-
θανοῦνται. — 2 ἐπιστρέφου, Ιακωβ, καὶ ἐπιλαβοῦ αὐτῆς, διόδευσον 2
πρὸς τὴν λάμψιν κατέναντι τοῦ φωτὸς αὐτῆς. 3 μὴ δῷς ἑτέρῳ τὴν 3
δόξαν σου καὶ τὰ συμφέροντά σοι ἔθνει ἀλλοτρίῳ. 4 μακάριοί ἐσμεν, 4
Ισραηλ, ὅτι τὰ ἀρεστὰ τῷ θεῷ ἡμῖν γνωστά ἐστιν.
5 Θαρσεῖτε, λαός μου, μνημόσυνον Ισραηλ. 6 ἐπράθητε τοῖς ἔθνεσιν 5 6

18 οι L] pr. οτι BA || 23 ουτε] οι τε B | επι της(>B†) γης L] pr. οι BA | οι μυθολ. pau.] pr. και rel. | της ult. A†] δε Bpl., pr. δε 393 || 26 εγενηθησαν A | οι 3⁰ > B† || 35 ελαμψαν] pr. και A 393† || 37 υπ > A || 38 της > AC†

4 1 αυτης] -την B: cf. Helbing Kasussyntax p. 121 || 4 του θεου B†